# ΑΝΩΝΥΜΟΥ

# ΕΚΘΕΣΙΣ ΧΡΟΝΙΚΗ (1)

φ. 40. Ἔκθεσις Χρονικὴ συντομωτέρα συντεθεῖσα ἐν ἁπλότητι λέξεων, κοινῶς διηγουμένη τὰ γεγονότα ἐν ταῖς ἡμέραις ἡμῶν, ἃ μὲν οἰκείοις ὀφθαλμοῖς εἴδομεν, ἃ δὲ ἀκηκόαμεν ἐκ τῶν πρὸ ἡμῶν οὐκ ὀκνοῦμεν (2) γράψαι.

Βασιλεύων κὺρ Μανουὴλ ὁ Παλαιολόγος ἔσχεν καὶ ἀδελφὸν τὸν κῦριν Ἀνδρόνικον, ὅνπερ ἐτύφλωσεν ὁ πατὴρ αὐτοῦ διὰ τὸ νεωτερῆσαι αὐτὸν μετὰ τὸν υἱὸν τοῦ αὐθεντὸς ὀνόματι Μουσὶ τζελεπῆ· ἀποδράσαντες γὰρ ἀμφότεροι ἐκ τῶν πατέρων αὐτῶν ἐλεηλάτουν τὰς χώρας. Ὅθεν ποιήσαντες βουλὴν οἱ πατέρες αὐτῶν ἐπίασαν αὐτούς, καὶ ὁ μὲν Τοῦρκος ἀπέκτεινε τὸν

---

(1) Ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 10 ἑλληνικοῦ κώδικος τῆς ἐν Ὀξωνίᾳ βιβλιοθήκης τοῦ **Lincoln College**.

(2) χ. ὀκνύωμεν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ